# VITA AESCHYLI (ed. Page 1972)

**1** Αἰσχύλος ὁ τραγικὸς γένει μὲν ἦν Ἀθηναῖος, Ἐλευσίνιος τὸν δῆμον, υἱὸς Εὐφορίωνος, Κυνεγείρου ἀδελφός, ἐξ εὐπατριδῶν τὴν φύσιν. **2** νέος δὲ ἤρξατο τῶν τραγῳδιῶν, καὶ πολὺ τοὺς πρὸ αὐτοῦ ὑπερῆρε κατὰ τὴν ποίησιν καὶ τὴν διάθεσιν τῆς σκηνῆς, τήν τε λαμπρότητα τῆς χορηγίας καὶ τὴν σκευὴν τῶν ὑποκριτῶν, τήν τε τοῦ χοροῦ σεμνότητα· ὡς καὶ Ἀριστοφάνης· "ἀλλ᾽ ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα σεμνά, / καὶ κοσμήσας τραγικὸν λῆρον" (*Ra.* 1004s.). **3** συνεχρόνισεν δὲ Πινδάρῳ, γεγονὼς κατὰ τὴν †μ´† Ὀλυμπιάδα. **4** γενναῖον δὲ αὐτόν φασι, καὶ μετασχεῖν τῆς ἐν Μαραθῶνι μάχης σὺν τῷ ἀδελφῷ Κυνεγείρῳ, τῆς τε ἐν Σαλαμῖνι ναυμαχίας σὺν τῷ νεωτάτῳ τῶν ἀδελφῶν Ἀμεινίᾳ, καὶ τῆς ἐν Πλαταιαῖς πεζομαχίας. **5** κατὰ δὲ τὴν σύνθεσιν τῆς ποιήσεως ζηλοῖ τὸ ἁδρὸν ἀεὶ πλάσμα, ὀνοματοποιΐαις τε καὶ ἐπιθέτοις, ἔτι δὲ καὶ μεταφοραῖς καὶ πᾶσι τοῖς δυναμένοις ὄγκον τῇ φράσει περιθεῖναι χρώμενος. αἵ τε διαθέσεις τῶν δραμάτων οὐ πολλὰς αὐτῷ περιπετείας καὶ πλοκὰς ἔχουσιν ὡς παρὰ τοῖς νεωτέροις· μόνον γὰρ ζηλοῖ τὸ βάρος περιτιθέναι τοῖς προσώποις, ἀρχαῖον εἶναι κρίνων τοῦτο τὸ μέρος, <τὸ> μεγαλοπρεπές τε καὶ ἡρωικόν, τὸ δὲ πανοῦργον κομψοπρεπές τε καὶ γνωμολογικὸν ἀλλότριον τῆς τραγῳδίας ἡγούμενος· ὥστε διὰ τὸ πλεονάζειν τῷ βάρει τῶν προσώπων κωμῳδεῖται παρὰ Ἀριστοφάνους. **6** ἐν μὲν γὰρ τῇ Νιόβῃ ἕως τρίτου μέρους ἐπικαθημένη τῷ τάφῳ τῶν παίδων οὐδὲν φθέγγεται ἐγκεκαλυμμένη, ἐν δὲ τοῖς Ἕκτορος Λουτροῖς Ἀχιλλεὺς ὁμοίως ἐγκεκαλυμμένος οὐ φθέγγεται πλὴν ἐν ἀρχαῖς ὀλίγα πρὸς Ἑρμῆν ἀμοιβαῖα. **7** διὸ ἐκλογαὶ μὲν παρ᾽ αὐτῷ τῇ κατασκευῇ διαφέρουσαι πάμπολλαι ἂν εὑρεθεῖεν, γνῶμαι δὲ ἢ συμπάθειαι ἢ ἄλλο τι τῶν δυναμένων εἰς δάκρυον ἀπαγαγεῖν οὐ πάνυ· ταῖς τε γὰρ ὄψεσι καὶ τοῖς μύθοις πρὸς ἔκπληξιν τερατώδη μᾶλλον ἢ πρὸς ἀπάτην κέχρηται. **8** ἀπῆρεν δὲ ὡς Ἱέρωνα, κατά τινας μὲν ὑπὸ Ἀθηναίων κατασπουδασθεὶς καὶ ἡσσηθεὶς νέῳ ὄντι Σοφοκλεῖ, κατὰ δὲ ἐνίους ἐν τῷ εἰς τοὺς ἐν Μαραθῶνι τεθνηκότας ἐλεγείῳ ἡσσηθεὶς Σιμωνίδῃ· τὸ γὰρ ἐλεγεῖον πολὺ τῆς περὶ τὸ συμπαθὲς λεπτότητος μετέχειν θέλει, ὃ τοῦ Αἰσχύλου, ὡς ἔφαμεν, ἐστὶν ἀλλότριον. **9** τινὲς δέ φασιν ἐν τῇ ἐπιδείξει τῶν Εὐμενίδων σποράδην εἰσαγαγόντα τὸν χορὸν τοσοῦτον ἐκπλῆξαι τὸν δῆμον ὡς τὰ μὲν νήπια ἐκψῦξαι, τὰ δὲ ἔμβρυα ἐξαμβλωθῆναι. ἐλθὼν τοίνυν εἰς Σικελίαν Ἱέρωνος τότε τὴν Αἴτνην κτίζοντος ἐπεδείξατο τὰς Αἰτναίας οἰωνιζόμενος βίον ἀγαθὸν τοῖς συνοικίζουσι τὴν πόλιν. **10** καὶ σφόδρα τῷ τε τυράννῳ Ἱέρωνι καὶ τοῖς Γελῴοις τιμηθείς ἐπιζήσας τρίτον ἔτος γηραιὸς ἐτελεύτα τοῦτον τὸν τρόπον· ἀετὸς γὰρ χελώνην ἁρπάσας, ὡς ἐγκρατὴς γενέσθαι τῆς ἄγρας οὐκ ἴσχυεν, ἀφίησι κατὰ πετρῶν αὐτὴν συνθλάσσων τὸ δέρμα, ἡ δὲ ἐνεχθεῖσα κατὰ τοῦ ποιητοῦ φονεύει αὐτόν. χρηστηριασθεὶς δὲ ἦν, "οὐράνιόν σε βέλος κατακτενεῖ". **11** ἀποθανόντα δὲ Γελῷοι πολυτελῶς ἐν τοῖς δημοσίοις μνήμασι θάψαντες ἐτίμησαν μεγαλοπρεπῶς, ἐπιγράψαντες τούτῳ· "Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει / μνῆμα καταφθίμενον πυροφόροιο Γέλας· / ἀλκὴν δ᾽ εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι, / καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος". εἰς τὸ μνῆμα δὲ φοιτῶντες ὅσοις ἐν τραγῳδίαις ἦν ὁ βίος ἐνήγιζόν τε καὶ τὰ δράματα ὑπεκρίνοντο. **12** Ἀθηναῖοι δὲ τοσοῦτον ἠγάπησαν Αἰσχύλον ὡς ψηφίσασθαι μετὰ <τὸν> θάνατον αὐτοῦ τὸν βουλόμενον διδάσκειν τὰ Αἰσχύλου χορὸν λαμβάνειν. **13** ἐβίω δὲ ἔτη ξγ´, ἐν οἷς ἐποίησεν δράματα ο´, καὶ ἐπὶ τούτοις σατυρικὰ ἀμφὶ τὰ †ε´†. νίκας δὲ τὰς πάσας εἰλήφει τρεισκαίδεκα· οὐκ ὀλίγας δὲ μετὰ τελευτὴν νίκας ἀπηνέγκατο. **14** πρῶτος Αἰσχύλος πάθεσι γεννικωτάτοις τὴν τραγῳδίαν ηὔξησεν τήν τε σκηνὴν ἐκόσμησεν καὶ τὴν ὄψιν τῶν θεωμένων κατέπληξεν τῇ λαμπρότητι, γραφαῖς καὶ μηχαναῖς, βωμοῖς τε καὶ τάφοις, σάλπιγξιν, εἰδώλοις, Ἐρινύσι· τούς τε ὑποκριτὰς χειρῖσι σκεπάσας καὶ τῷ σύρματι ἐξογκώσας μείζοσί τε τοῖς κοθόρνοις μετεωρίσας. **15** ἐχρήσατο δὲ ὑποκριτῇ πρώτῳ μὲν Κλεάνδρῳ, ἔπειτα καὶ τὸν δεύτερον αὐτῷ προσῆψε Μυννίσκον τὸν Χαλκιδέα, τὸ δὲ τρίτον ὑποκριτὴν αὐτὸς ἐξεῦρεν, ὡς δὲ Δικαίαρχος ὁ Μεσσήνιος, Σοφοκλῆς. **16** τὸ δὲ ἁπλοῦν τῆς δραματοποιΐας εἰ μέν τις πρὸς τοὺς μετ᾽ αὐτὸν λογίζοιτο, φαῦλον ἂν ἐκλαμβάνοι καὶ ἀπραγμάτευτον· εἰ δὲ πρὸς τοὺς ἀνωτέρω, θαυμάσειε τῆς ἐπινοίας τὸν ποιητὴν καὶ τῆς εὑρέσεως. ὅτῳ δὲ δοκεῖ τελεώτερος τραγῳδίας ποιητὴς ὁ Σοφοκλῆς γεγονέναι, ὀρθῶς μὲν δοκεῖ, λογιζέσθω δὲ ὅτι πολλῷ χαλεπώτερον ἦν ἐπὶ Θέσπιδι, Φρυνίχῳ τε καὶ Χοιρίλῳ εἰς τοσόνδε μεγέθους τὴν τραγῳδίαν προσαγαγεῖν ἢ ἐπὶ Αἰσχύλῳ εἰπόντα ἐς τὴν τοῦ Σοφοκλέους ἐλθεῖν τελειότητα. **17** ἐπιγέγραπται τῷ τάφῳ αὐτοῦ· "ἀετοῦ ἐξ ὀνύχων βρέγμα τυπεὶς ἔθανον". φασὶν ὑπὸ Ἱέρωνος ἀξιωθέντα ἀναδιδάξαι τοὺς Πέρσας ἐν Σικελίᾳ καὶ λίαν εὐδοκιμεῖν.

## ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΑΙΣΧΥΛΟΥ ΔΡΑΜΑΤΩΝ

Ἀγαμέμνων.
Ἀθάμας.
Αἰγύπτιοι.
Αἰτναῖαι γνήσιοι.
Αἰτναῖαι νόθοι.
Ἀμυμώνη.
Ἀργεῖοι.
Ἀργὼ ἢ Κωπευστής.
Ἀταλάντη.
Βάκχαι.
Βασσάραι.
Γλαῦκος πόντιος.
Δαναΐδες.
Δικτυουργοί.
Ἕπτ᾽ ἐπὶ Θήβας.
Εὐμενίδες
Ἐπίγονοι.
Ἐλευσίνιοι.
Ἡλιάδες.
Ἠδωνοί.
Ἡρακλεῖδαι.
Θρῇσσαι.
Θεωροὶ ἢ Ἰσθμιασταί.
Ἰφιγένεια.
Ἰξίων.
Ἱκέτιδες.
Κάβειροι.
Καλλιστώ.
Κρῆσσαι.
Κερκύων.
Κίρκη σατυρική.
Κήρυκες.
Κᾶρες ἢ Εὐρώπη.
Λάϊος.
Λέων.
Λήμνιοι.
Λυκοῦργος.
Μέμνων.
Μυσοί.
Μυρμιδόνες.
Νεανίσκοι.
Νεμέα.
Νηρεΐδες.
Νιόβη.
Ξάντριαι.
Οἰδίπους.
Ὅπλων κρίσις.
Ὀστολόγοι.
Πενθεύς.
Περραιβίδες.
Πρωτεύς.
Πέρσαι.
Πηνελόπη.
Προπομποί.
Προμηθεὺς δεσμώτης.
Προμηθεὺς πυρφόρος.
Προμηθεὺς λυόμενος.
Πολυδέκτης.
Σαλαμίνιαι.
Σεμέλη ἢ Ὑδροφόροι.
Σίσυφος δραπέτης.
Σφίγξ.
Τοξότιδες.
Τήλεφος.
Τροφοί.
Ὑψιπύλη.
Φιλοκτήτης.
Φορκίδες.
Φρύγες ἢ Ἕκτορος λύτρα.
Χοηφόροι.
Ψυχοστασία.
Ψυχαγωγοί.

## <ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ>

<ΟΡΕΣΤΗΣ, ΠΥΛΑΔΗΣ, ΧΟΡΟΣ ΑΙΧΜΑΛΩΤΙΔΩΝ, ΗΛΕΚΤΡΑ, ΟΙΚΕΤΗΣ, ΚΛΥΤΑΙΜΗΣΤΡΑ, ΤΡΟΦΟΣ, ΑΙΓΙΣΘΟΣ>

## 'AD *ὈΡΕΣΤΕΙΑΝ* PROLEGOMENA' IN *AGAMEMNONE*

***Ag.* 877-886:** ἐκ τῶνδέ τοι παῖς ἐνθάδ᾽ οὐ παραστατεῖ, / ἐμῶν τε καὶ σῶν κύριος πιστωμάτων, / ὡς χρῆν, Ὀρέστης· μηδὲ θαυμάσῃς τόδε. / τρέφει γὰρ αὐτὸν εὐμενὴς δορύξενος / Στροφίος ὁ Φωκεύς, ἀμφίλεκτα πήματα / ἐμοὶ προφωνῶν, τόν θ᾽ ὑπ᾽ Ἰλίῳ σέθεν / κίνδυνον, εἴ τε δημόθρους ἀναρχία / βουλὴν καταρρίψειεν, ὥς τε σύγγονον / βροτοῖσι τὸν πεσόντα λακτίσαι πλέον. / τοιάδε μέντοι σκῆψις οὐ δόλον φέρει.

***Ag.* 1279-1284:** οὐ μὴν ἄτιμοί γ᾽ ἐκ θεῶν τεθνήξομεν. / ἥξει γὰρ ἡμῶν ἄλλος αὖ τιμάορος, / μητροκτόνον φίτυμα, ποινάτωρ πατρός· / φυγὰς δ᾽ ἀλήτης τῆσδε γῆς ἀπόξενος / κάτεισιν, ἄτας τάσδε θριγκώσων φίλοις· / ὀμώμοται γὰρ ὅρκος ἐκ θεῶν μέγας, / ἄξειν νιν ὑπτίασμα κειμένου πατρός.

***Ag.* 1672s.:** μὴ προτιμήσῃς ματαίων τῶνδ᾽ ὑλαγμάτων· <ἐγὼ> / καὶ σὺ θήσομεν κρατοῦντε τῶνδε δωμάτων <καλῶς>.